Αερόλιθοι

Αἰγὸς ποταμοί.

| Αναξαγόρας |
| --- |
| Δαΐμαχος: Περὶ Εὐσεβείας |
| Πλούταρχος: Λυσ. 12 |
| in Felix Jacoby: Fragmente der Griechischen Historiker Zweiter Teil Berlin 1926 s. 16–17 |

Πλούταρχος Λυσ. 12:

Οἱ δὲ καὶ τὴν τοῦ λίθου πτῶσιν ἐπὶ τῷ πάθει τούτῳ (Schlacht bei Aigospotamoi) σημεῖόν φασι γενέσθαι· κατηνέχθη γάρ, ὡς ἡ δόξα τῶν πολλῶν, ἐξ οὐρανοῦ παμμεγέθης λίθος εἰς Αἰγὸς ποταμούς.

Καὶ δείκνυται μὲν ἔτι νῦν, σεβομένων αὐτὸν τῶν Χερρονησιτῶν

(Meteortheorie des Anaxagoras und anonyme πιθανωτέρα δόξα).

Τῷ δ' Ἀναξαγόρᾳ μαρτυρεῖ καὶ Δαΐμαχος ἐν τοῖς Περὶ Εὐσεβείας ἱστορῶν, ὅτι πρὸ τοῦ πεσεῖν τὸν λίθον ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ πέντε συνεχῶς κατὰ τὸν οὐρανὸν ἑωρᾶτο πύρινον σῶμα παμμέγεθες, ὥσπερ νέφος φλογοειδές, οὐχ ἱδρυμένον ἀλλὰ πολυπλόκους καὶ κεκλασμένας φορὰς φερόμενον, ὥστε ὑπὸ σάλου καὶ πλάνης ἀπορρηγνύμενα πυροειδῆ σπάσματα φέρεσθαι πολλαχοῦ καὶ ἀστράπτειν, ὥσπερ οἱ διᾴττοντες ἀστέρες.

Ἐπεὶ δὲ ἐνταῦθα τῆς γῆς ἔβρισε καὶ παυσάμενοι φόβου καὶ θάμβους οἱ ἐπιχώριοι συνῆλθον, ὤφθη πυρὸς μὲν οὐδὲν ἔργον οὐδ' ἴχνος τοσοῦτο, λίθος δὲ κείμενος, ἄλλως μὲν μέγας, οὐθὲν δὲ μέρος ὡς εἰπεῖν ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων.

Ὅτι μὲν οὖν εὐγνωμόνων ὁ Δαΐμαχος ἀκροατῶν δεῖται, δῆλός ἐστιν·

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἰ δὲ ἀληθὴς ὁ λόγος, ἐξελέγχει κατὰ κράτος τοὺς φάσκον-
τας ἐκείνους ἀκρωρείας ἀποκοπεῖσαν πτώμασι καὶ
γάλακτι πεῖραν, ὑποληφθεῖσαν δ' ὥσπερ οἱ σκορβιλοί καὶ
φρονιμώτεροι, ὅτι πρῶτον ἐνεδίδωκε καὶ διελύθη τὸ περι-
δινῆσαν, ἐκριφῆναι καὶ πεσεῖν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ